# Métrodóros z Chiu

Fragmenta DK 70 B

ΜΗΤΡΟΔΟΡΟΥ ΠΕΡΙ ΦΥΣΕΩΣ

**B 1** /1 = Cicero, Ac. pr. II, 23, 73
is qui hunc maxime est admiratus Chius Metrodorus initio libri qui est De natura ‘nego, inquit, scire nos sciamusne aliquid an nihil sciamus, ne id ipsum quidem nescire aut scire scire nos, nec omnino sitne aliquid an nihil sit’.

**B 1** /2 = Eusebios, Praeparatio evangelica XIV, 19, 8
ἕπεται τούτοις συνεξετάσαι καὶ τοὺς τὴν ἐναντίαν βαδίσαντας καὶ πάντα χρῆναι πιστεύειν ταῖς τοῦ σώματος αἰσθήσεσιν ὁρισαμένους, ὧν εἶναι Μητρόδωρον τὸν Χῖον καὶ Πρωταγόραν τὸν ᾽Αβδηρίτην. τὸν μὲν οὖν Μητρόδωρον Δημοκρίτου ἔφασαν ἀκηκοέναι· ἀρχὰς δὲ ἀποφήνασθαι τὸ πλῆρες καὶ τὸ κενόν, ὧν τὸ μὲν ὄν, τὸ δὲ μὴ ὂν εἶναι. γράφων γέ τοι Περὶ φύσεως εἰσβολῆι ἐχρήσατο τοιαύτηι·
᾽οὐδεὶς ἡμῶν οὐδὲν οἶδεν οὐδ᾽ αὐτὸ τοῦτο, πότερον οἴδαμεν ἢ οὐκ οἴδαμεν <οὐδ᾽ αὐτὸ τὸ μὴ εἰδέναι καὶ τὸ εἰδέναι οἴδαμεν (ὅτι ἔστιν) οὐδ᾽ ὅλως πότερον ἔστι τι ἢ οὐκ ἔστιν>᾽.

**B 2** = Eusebios, Praeparatio evangelica XIV, 19, 8
ἥτις εἰσβολὴ κακὰς ἔδωκεν ἀφορμὰς τῶι μετὰ ταῦτα γενομένωι Πύρρωνι. προβὰς δέ φησιν ὅτι
᾽πάντα ἐστίν, ὃ ἄν τις νοήσαι᾽.

ΤΡΩΙΚΑ

**B 3** = Athénaios, Deipnosophistae IV, 184a
Μητρόδωρος δ᾽ Χῖος ἐν Τρωικοῖς σύριγγα μέν φησιν εὑρεῖν Μαρσύαν καὶ αὐλὸν (?) ἐν Κελαιναῖς, τῶν πρότερον ἑνὶ καλάμωι συριζόντων ...

**B 4** = Schol. Hom. Genav. F 441 p. 208, 21 Nic.
Μητρόδωρος ἐν Τρωικοῖς·
ἆμετὰ ταῦτα λέγουσι παρ᾽ αὐτὸν ἀφικέσθαι δύο ἄνδρας, ὁπόθεν μὲν καὶ οἵτινες, οὐδεὶς ἔχει εἰπεῖν ἀτρεκέως· ἐλθόντας δὲ εἰπεῖν, ὅτι Λαομέδοντι χρὴ ἀνδρὶ βασιλεῖ εἶναι ἀκρόπολιν ἐν τῆι πόλει, ἐν ἧι αὐτὸν οἰκεῖν πρέποι·
᾽ἡμεῖς οὖν σοι θέλομεν τειχίον κτίσαι καὶ ἐπιστατῆσαι᾽.

ΙΩΝΙΚΑ

**B 6** = Plútarchos, Quaest. conv. VI; 2 p. 694a
τὸ δὲ τεκμήριον ἐλαμβάνομεν ἐκ τῶν Μητροδώρου Ἰωνικῶν· ἱστορεῖ γὰρ ὅτι Σμυρναῖοι τὸ παλαιὸν Αἰολεῖς ὄντες θύουσι Βουβρώστει ταῦρον μέλανα καὶ κατακόψαντες αὐτόδορον ὁλοκαυτοῦσιν.